*ἀνάγει τὰς τῶν ἐπιτηδείων καὶ ἀνεπιτηδείων διαφοράς, ἀφ᾿ ὧν μάλιστα γίνεται πάντα μὲν τὰ θνητὰ τῶν κινουμένων, ἄλλα δὲ μᾶλλον ἄλλων. πρὸς τὰς δὲ [τὰς] περιόδους αὐτῶν οἰκείως ἢ ἀλλοτρίως ἔχει [τῶν γινομένων]. δηλοῖ δὲ καὶ τῶν φυτῶν τὰ μὲν σελήνῃ συγκινούμενα τὰ δὲ ἡλίῳ· τὰ μὲν γὰρ ῥόδα καὶ ἴα καὶ μετὰ τούτων τὰ ἡλιοτρόπια πρὸς ἥλιον ἀνίσχοντα τρέπει τὰ φύλλα καὶ πρὸς καταδυόμενον ὡσαύτως εἰς ἑσπέραν ῥέποντα, τὰ δὲ τῶν ἐλαιῶν φύλλα διδάσκει καὶ τοὺς γεωργικοὺς γεγονέναι τροπὰς ἢ χειμερινὰς ἢ θερινὰς διὰ τῆς ἑαυτῶν περιστροφῆς, ὅτὲ μὲν ἄνω τὸ μελάντερον ἰσχόντων ὅτὲ δὲ τὸ λευκόν. τὰ δὲ τῶν αἰλούρων ὄμματά φασι καὶ τὰ σπλάγχνα τῶν μυῶν πάντων φθίνειν μὲν σελήνης ληγούσης, αὔξεσθαι δὲ ἀκμαζούσης ⟨. . .⟩ εἰ μὲν περὶ πανσέληνον ἐξαιρεθείη, τὴν μὲν γόνιμον ἀρχὴν ἔτι φυλάττει καὶ αὖθις βλαστάνει κατὰ τὴν προσήκουσαν ὥραν, εἰ δὲ φθινούσης, ἄγονον γίνεται. καὶ ἁπλῶς τὰ μὲν πληρουμένης εὐθηνεῖται τὰ δὲ ληγούσης αὐτῆς, τοῖς μὲν ὠφελίμου τῆς ὑγρότητος οὔσης ἣν διαχεῖ τὸ σεληναῖον φῶς αὐξανόμενον, τοῖς δὲ βλαβερᾶς.*

## 102.

Aulus Gellius 20. 8.

Id etiam, inquit, multo mirandum est magis, quod apud Plutarchum in quarto in Hesiodum commentario legi: ‘cepetum revirescit et congerminat decedente luna, contra autem inarescit adulescente; eam causam esse dicunt sacerdotes Aegyptii cur Pelusiotae cepe non edint, quia solum olerum omnium contra lunae augmenta atque damna vices minuendi et augendi habeat contrarias.’